18Ἦσαν δὲ οἱ υἱοὶ Νωε οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ Σημ, Χαμ, 18
Ιαφεθ· Χαμ ἦν πατὴρ Χανααν. 19τρεῖς οὗτοί εἰσιν οἱ υἱοὶ Νωε· 19
ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν.
20Καὶ ἤρξατο Νωε ἄνθρωπος γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπε- 20
λῶνα. 21καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη ἐν 21
τῷ οἴκῳ αὐτοῦ. 22καὶ εἶδεν Χαμ ὁ πατὴρ Χανααν τὴν γύμνωσιν 22
τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλεν τοῖς δυσὶν ἀδελφοῖς
αὐτοῦ ἔξω. 23καὶ λαβόντες Σημ καὶ Ιαφεθ τὸ ἱμάτιον ἐπέθεντο 23
ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς καὶ συνε-
κάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τὸ πρόσωπον αὐτῶν
ὀπισθοφανές, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.
24ἐξένηψεν δὲ Νωε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ 24
ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος, 25καὶ εἶπεν 25

Ἐπικατάρατος Χανααν·
παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

26καὶ εἶπεν 26

Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σημ,
καὶ ἔσται Χανααν παῖς αὐτοῦ.
27πλατύναι ὁ θεὸς τῷ Ιαφεθ 27
καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σημ,
καὶ γενηθήτω Χανααν παῖς αὐτῶν.

28Ἔζησεν δὲ Νωε μετὰ τὸν κατακλυσμὸν τριακόσια πεντήκοντα ἔτη. 28
29καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νωε ἐννακόσια πεντήκοντα ἔτη, καὶ 29
ἀπέθανεν.
1Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νωε, Σημ, Χαμ, Ιαφεθ, καὶ ἐγε- 10
νήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.
2Υἱοὶ Ιαφεθ· Γαμερ καὶ Μαγωγ καὶ Μαδαι καὶ Ιωυαν καὶ Ελισα 2
καὶ Θοβελ καὶ Μοσοχ καὶ Θιρας. 3καὶ υἱοὶ Γαμερ· Ασχαναζ καὶ 3
Ριφαθ καὶ Θοργαμα. 4καὶ υἱοὶ Ιωυαν· Ελισα καὶ Θαρσις, Κίτιοι, Ῥόδιοι. 4
5ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν, ἕκαστος 5
κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.
6Υἱοὶ δὲ Χαμ· Χους καὶ Μεσραιμ, Φουδ καὶ Χανααν. 7υἱοὶ δὲ 6 7
Χους· Σαβα καὶ Ευιλα καὶ Σαβαθα καὶ Ρεγμα καὶ Σαβακαθα. υἱοὶ
δὲ Ρεγμα· Σαβα καὶ Δαδαν. 8Χους δὲ ἐγέννησεν τὸν Νεβρωδ. 8
οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς· 9οὗτος ἦν γίγας κυνηγὸς 9
ἐναντίον κυρίου τοῦ θεοῦ· διὰ τοῦτο ἐροῦσιν Ὡς Νεβρωδ γίγας
κυνηγὸς ἐναντίον κυρίου. 10καὶ ἐγένετο ἀρχὴ τῆς βασιλείας αὐτοῦ 10
Βαβυλὼν καὶ Ορεχ καὶ Αρχαδ καὶ Χαλαννη ἐν τῇ γῇ Σενναар.
11ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν Ασσουρ καὶ ᾠκοδόμησεν τὴν Νινευη 11

23 επεθεντο] -θηκαν A†

10 3 θεργαμα A† || 4 κητιοι A || 6 μεσραιν A: item in 13 || 7 bis ρεγχμα A†